Od.8.471 κῆρυξ δ´ ἐγγύθεν ἦλθεν ἄγων ἐρίηρον ἀοιδόν,
Od.8.472 Δημόδοκον, λα̱οῖσι τετι̱μένον· εἷσε δ´ ἄρ´ αὐτὸν
Od.8.473 μέσσῳ δαιτυμόνων, πρὸς κι̱ονα μακρὸν ἐρείσας.
Od.8.474 δὴ τότε κήρυ̱κα προσέφη πολύμητις Ὀδυσσεύς,
Od.8.475 νώτου ἀποπροταμών, ἐπὶ δὲ πλεῖον ἐλέλειπτο,
Od.8.476 ἀργιόδοντος ὑός, θαλερὴ δ´ ἦν ἀμφὶς ἀλοιφή·
Od.8.477 "κῆρυξ, τῆ δή, τοῦτο πόρε κρέας, ὄφρα φάγῃσι,
Od.8.478 Δημοδόκῳ, καί μιν προσπτύξομαι, ἀχνύμενός περ·
Od.8.479 πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοὶ
Od.8.480 τι̱μῆς ἔμμοροί εἰσι καὶ αἰδοῦς, οὕνεκ´ ἄρα σφέ͜ας
Od.8.481 οἴμας Μοῦσ´ ἐδίδαξε, φίλησε δὲ φῦλον ἀοιδῶν."
Od.8.482 ὣς ἄρ´ ἔφη, κῆρυξ δὲ φέρων ἐν χερσὶν ἔθηκεν
Od.8.483 ἥρῳ Δημοδόκῳ· ὁ δ´ ἐδέξατο, χαῖρε δὲ θυ̱μῷ.
Od.8.484 οἱ δ´ ἐπ´ ὀνείαθ´ ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Od.8.485 αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Od.8.486 δὴ τότε Δημόδοκον προσέφη πολύμητις Ὀδυσσεύς·
Od.8.487 "Δημόδοκ´, ἔξοχα δή σε βροτῶν αἰνίζομ´ ἁπάντων·
Od.8.488 ἢ σέ γε Μοῦσ´ ἐδίδαξε, Διὸς πάϊς, ἢ σέ γ´ Ἀπόλλων·
Od.8.489 λι̱ην γὰρ κατὰ κόσμον Ἀχαιῶν οἶτον ἀείδεις,
Od.8.490 ὅσσ´ ἔρξάν τ´ ἔπαθόν τε καὶ ὅσσ´ ἐμόγησαν Ἀχαιοί,
Od.8.491 ὥς τέ που ἢ αὐτὸς παρεὼν ἢ ἄλλου ἀκούσας.
Od.8.492 ἀλλ´ ἄγε δὴ μετάβηθι καὶ ἵππου κόσμον ἄεισον
Od.8.493 δουρατέου, τὸν Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ,
Od.8.494 ὅν ποτ´ ἐς ἀκρόπολιν δόλον ἤγαγε δῖος Ὀδυσσεὺς

Od.8.495 ἀνδρῶν ἐμπλήσας, οἳ Ἴ̱λιον ἐξαλάπαξαν.

Od.8.496 αἴ κεν δή μοι ταῦτα κατὰ μοῖραν καταλέξῃς,

Od.8.497 αὐτίκα καὶ πᾶσιν μυ̱θήσομαι ἀνθρώποισιν,

Od.8.498 ὡς ἄρα τοι πρόφρων θεὸς ὤπασε θέσπιν ἀοιδήν."

Od.8.499 ὣς φάθ΄, ὁ δ΄ ὁρμηθεὶς θεοῦ ἤρχετο, φαῖνε δ΄ ἀοιδήν,

Od.8.500 ἔνθεν ἑλών, ὡς οἱ μὲν ἐϋσσέλμων ἐπὶ νηῶν

Od.8.501 βάντες ἀπέπλειον, πῦρ ἐν κλισίῃσι βαλόντες,

Od.8.502 Ἀργεῖοι, τοὶ δ΄ ἤδη ἀγακλυτὸν ἀμφ΄ Ὀδυσῆα

Od.8.503 εἵατ΄ ἐνὶ Τρώων ἀγορῇ κεκαλυμμένοι ἵππῳ·

Od.8.504 αὐτοὶ γάρ μιν Τρῶες ἐς ἀκρόπολιν ἐρύσαντο.

Od.8.505 ὣς ὁ μὲν ἑστήκει, τοὶ δ΄ ἄκριτα πόλλ΄ ἀγόρευον

Od.8.506 ἥμενοι ἀμφ΄ αὐτόν· τρίχα δέ σφισιν ἥνδανε βουλή,

Od.8.507 ἠὲ διατμῆξαι κοῖλον δόρυ νηλέϊ χαλκῷ,

Od.8.508 ἢ κατὰ πετρά̱ων βαλέειν ἐρύσαντας ἐπ΄ ἄκρης,

Od.8.509 ἢ ἐάαν μέγ΄ ἄγαλμα θεῶν θελκτήριον εἶναι,

Od.8.510 τῇ περ δὴ καὶ ἔπειτα τελευτήσεσθαι ἔμελλεν·

Od.8.511 αἶσα γὰρ ἦν ἀπολέσθαι, ἐπὴν πόλις ἀμφικαλύψῃ

Od.8.512 δουράτεον μέγαν ἵππον, ὅθ΄ εἵατο πάντες ἄριστοι

Od.8.513 Ἀργεῖοι Τρώεσσι φόνον καὶ κῆρα φέροντες.

Od.8.514 ἤειδεν δ΄ ὡς ἄστυ διέπραθον υἷες Ἀχαιῶν

Od.8.515 ἱππόθεν ἐκχύμενοι, κοῖλον λόχον ἐκπρολιπόντες.

Od.8.516 ἄλλον δ΄ ἄλλῃ ἄειδε πόλιν κεραϊζέμεν αἰπήν,

Od.8.517 αὐτὰρ Ὀδυσσῆα προτὶ δώματα Δηϊφόβοιο

Od.8.518 βήμεναι, ἠΰτ΄ Ἄρηα, σὺν ἀντιθέῳ Μενελά̱ῳ.

Od.8.519 κεῖθι δὴ αἰνότατον πόλεμον φάτο τολμήσαντα
Od.8.520 νι̱κῆσαι καὶ ἔπειτα διὰ μεγάθυ̱μον Ἀθήνην.
Od.8.521 ταῦτ᾽ ἄρ᾽ ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς
Od.8.522 τήκετο, δάκρυ δ᾽ ἔδευεν ὑπὸ βλεφάροισι παρειά̱ς.
Od.8.523 ὡς δὲ γυνὴ κλαίῃσι φίλον πόσιν ἀμφιπεσοῦσα,
Od.8.524 ὅς τε ἑῆς πρόσθεν πόλιος λα̱ῶν τε πέσῃσιν,
Od.8.525 ἄστεϊ καὶ τεκέεσσιν ἀμύ̱νων νηλεὲς ἦμαρ·
Od.8.526 ἡ μὲν τὸν θνῄσκοντα καὶ ἀσπαίροντα ἰδοῦσα
Od.8.527 ἀμφ᾽ αὐτῷ χυμένη λίγα κωκύει· οἱ δέ τ᾽ ὄπισθε
Od.8.528 κόπτοντες δούρεσσι μετάφρενον ἠδὲ καὶ ὤμους
Od.8.529 εἴρερον εἰσανάγουσι, πόνον τ᾽ ἐχέμεν καὶ ὀϊζύν·
Od.8.530 τῆς δ᾽ ἐλεεινοτάτῳ ἄχεϊ φθινύθουσι παρειαί·
Od.8.531 ὣς Ὀδυσεὺς ἐλεεινὸν ὑπ᾽ ὀφρύσι δάκρυον εἶβεν.